ϗ κέκραμαι, κεκρᾶσθαι ϗ πέπαμαι, πεπᾶσθαι. ϗ ςαμαι, ἐςᾶσθαι. ἐξαιρείσθω ϗ τὸ πέπραγμαι, πεπρᾶχθαι ϗ τὸ ἶγμαι, ἶχθαι. ὅθεν τὸ ἀφῖγμαι, ἀφῖχθαι.

## Περὶ χρόνου τῆς Μετοχῆς Κανόνες.

§ ψνγ΄. Καθόλου μὲν αἱ τῶν Ἐνεργητικῶν Μετοχαὶ, γένους οὖσαι ἀρσενικοῦ, μακροκαταληκτοῦσιν. ὁ τύπτων, ὁ τύψας, ὁ τυπῶν, ὁ τετυφὼς, ὁ τιθεὶς, ὁ ἱςὰς, ὁ ζευγνύς.

§. ψνδ΄. Ἴδιον δὲ μάλιςα Μετοχῆς τὸ συςέλλεσθαι ἐπὶ Γενικῆς, ἀπαθῆ οὖσαν. τύπτων, τύπτοντος τετυφὼς, τετυφότος. τιθεὶς, τιθέντος ἱςάς, ἱςάντος. ζευγνὺς, ζευγνύντος ϗ τό τὴν αὐτὴν ἔχειν ὀνομαςικήν τε, ϗ κλητικὴν, φωνῇ τε, ϗ χρόνῳ, ϗ τόνῳ τουτὶ δέ γε κοινὸν ϗ πρὸς τὰ μετοχικὰ Ὀνόματα. καύσων.

§. ψνέ Τὸ δὲ μεμαῶτος, ϗ τεθνεῶτος, ϗ βεβαῶτος, ϗ τὰ τοιαῦτα, Ποιητῶν. τὸ γὰρ πρό τοῦ α σύμφωνον ἐξαίροντες, ϗ συςέλλοντες το παραλῆγον, κλίνουσιν ἀσυςόλως. μεμηκα, μεμαῶτος. τέθνηκα, τεθνεῶτος τὸ δὲ ἑςῶτος, κατὰ συναίρεσιν. τὸ μέν τοι δέδεικα, δέδεια, δεδιότος, συνεςαλμένως.

§ ψνς΄ Ἔτι, κλινομένης τῆς τῶν Ἐνεργητικῶν Μετοχῆς γενικῶς, λήγει μὲν βραχεῖᾳ τὸ θηλυκὸν, παραλήγει μέν τοι μακρᾷ ὁ τυπτων, ἡ τύπτουσα. ὁ τύψας, ἡ τύψασα ὁ τετυφὼς, ἡ τετυφυῖα ὁ τιθεὶς,